ſed etiam pleniori, & tantundem calens, atque etiam vehementius. An propterea quòd aquæ efferuentia bullarum elatio eſt: aqua igitur ipſa non minùs hyeme, quàm æſtate, calefieri poteſt: ſed bullas efferri frigus ambientis aeris prohibet, itaque minores, pauciorésque conſiſtunt: at æſtate contrà omnino eſt. Ille autem efferuendi æſtus non niſi frequentia, magnitudinéque ſpumæ exultat. 7 Cur calida aqua rugare poteſt; ignis, qui tam calidus eſt, non poteſt? An quia ignis ſpiritum agit, vt tumefacere valeat: circùm enim cutis obtenditur: ruga autem, cutis contractiuncula eſt. 8 Cur fundi vaſorum, quibus calfacimus aquam, tandiu calidiores ſunt, dum aqua ipſa frigidiuſcula eſt? An quoniam aqua adhuc frigida calor concludatur circum obſiſtátque intus cùm ei exitus omnis denegetur. At verò aqua concalfacta, quòd nihil præterea calor arceatur, ſed liberè reſpiret, diminuatúrque, fundus frigidior redditur, non ſecus ac balneæ: has enim hyeme, quàm æſtate, calidiores experimur, quoniam calor hyberno potius, quàm æſtiuo tempore, aeris circunfundentis frigore intercluditur. 9 Cur aqua feruens nunquam expaflat: freſum omne, atque lenticula ſolida expaflantur? quanquam hic leuior aqua eſt: leuius autem, procul proiici facilius poteſt. Quinetiam argentum, cùm decoquitur, idem hoc facit. Itaque qui in officinis argentariis defæcandi funguntur officio argenti reliquias colligunt lucro. An quia expaflationem calor agit euaporando, cogendóque ea, quæ ſuo naturali impetu obſtant. Aqua igitur, quoniam leuis, & prætenuis eſt, nihil per vim reiicit: itaque nimius calor colligi nō poteſt, ſed antè, quàm contrahatur, reprimitur omne, atque excutitur, quod ſubinde acceſſit. At vero quæ corpulentiora ſunt, vt polenta, vt argentum, hæc, vt per ſui corporis grauitatem arcent, repellúntque, ita vi per renixum erumpunt, vt calor, quà vicerit, exiliat vehemens. Facit enim corpulentiæ ſpiſſitas ne tranſeat, ſed arceatur, dum ictu caloris ſuperfluentis extruſus ſit, atque eiaculatus. Fit ergo ictus non impulſus, vtpote cùm calor inferius ſurſum verſus effe[illegible]atur celeriter.

A ὕδωρ, οὐ μόνον ὁμοίως θερμαινόμενον, ἀλλὰ καὶ μᾶλλον, καὶ ὁμοίως θερμὸν ὄν, καὶ ἔτι μᾶλλον; ἢ διότι ἡ ὑπέρζεσίς ἐστιν ἡ ἀναβολὴ τῶν πομφολύγων; τὸ μὲν οὖν ὕδωρ αὐτὸ θερμαίνεται τό τε οὐθὲν ἧττον ἢ τοῦ ψύχους· αἱ δὲ πομφόλυγες, αἴρεσθαι οὐ δύνανται ὁμοίως, διὰ τὸ τὸν περιέχοντα ἀέρα εἶναι ψυχρόν· ἀλλὰ καὶ ἐλάττοις τε τῷ μεγέθει B αἴρονται ὑπὸ τοῦ ψύχους θλιβόμεναι, καὶ διακόπτοντος τοῦ ἀέρος, ταχὺ διαπίπτουσιν. ὥστε ἐλάττοις τε τῷ ὄγκῳ καὶ τῷ πλήθει γίνονται τοῦ χειμῶνος· τοῦ δὲ θέρους, τὸ ἐναντίον. ἡ δὲ ὑπέρζεσις γίνεται, διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος τοῦ ἀφροῦ. ζ Διὰ τί τὸ μὲν θερμὸν ὕδωρ, ῥυτιδοῖ· τὸ δὲ πῦρ, θερμὸν ὄν, οὔ; ἢ ὅτι τὸ μὲν πῦρ, ποιεῖ πνεῦμα· ὥστε ὄγκοι; περιτείνεται γὰρ τὸ δέρμα. ἡ δὲ κάμψις, ῥυτίς ἐστιν. η Διὰ C τί τῶν ἀγγείων οἱ πυθμένες θερμαινομένου τοῦ ὕδατος, ἕως ἂν ᾖ ψυχρὸν τὸ ὕδωρ, θερμότεροί εἰσιν; ἢ διότι ψυχροῦ μὲν [ἔτι] ὄντος τοῦ ὕδατος, ἐγκατακλείεται τὸ θερμὸν καὶ ἀντιπεριΐσταται εἴσω, κωλυόμενον ἐξιέναι; ὅταν δὲ διαθερμανθῇ τὸ ἐνὸν ὕδωρ, οὐκέτι ἀποστέγοντος, ἀλλὰ διαπνέοντος καὶ ἐλάττονος γινομένου τοῦ πυρὸς, ψυχρότερος γίνεται ὁ πυ- D θμὴν, ὁμοίως ὥσπερ καὶ τὰ βαλανεῖα. καὶ γὰρ ταῦτα τοῦ χειμῶνος θερμότερα, ἢ τοῦ θέρους, διὰ τὸ ἐγκατακλείεσθαι τὸ θερμὸν ἐν τῷ χειμῶνι μᾶλλον, ἢ ἐν τῷ θέρει, ὑπὸ τοῦ περιέχοντος ἀέρος ὄντος ψυχροῦ. θ Διὰ τί τὸ μὲν ὕδωρ ζέον οὐκ ἐκπαφλάζει, τὸ δὲ ἔτνος καὶ ἡ φακῆ; καίτοι κουφότερον τὸ ὕδωρ τούτων· τὰ δὲ κοῦφα, ῥᾷον ῥίψαι πόῤῥω. ποιεῖ δὲ καὶ τὸ ἀργύριον ταὐτὸ, καὶ τοῦτο καθαιρόμε- E νον· δι' ὃ οἱ ἐν τοῖς ἀργυροκοπείοις καλλύνοντες, κερδαίνουσι. τὸ γὰρ διαῤῥιπτούμενον συγκαλλύνοντες, λαμβαίουσι τὰ λείψανα. ἢ διότι ποιεῖ μὲν τὸν ἐκπαφλασμὸν τὸ θερμὸν ἐξατμίζον καὶ βιαζόμενον τὰ ἀντικρούοντα τῇ κατὰ φύσιν αὐτοῦ φορᾷ; τὸ μὲν οὖν ὕδωρ διὰ κουφότητα καὶ λεπτότητα οὐκ ἀποβιάζεται· F ὥστε οὐκ ἀθροίζεται πολὺ θερμόν· ἀλλὰ πρὶν ἀλεαθῆναι, φθάνει διακόψαι τὸ ἀεὶ προσελθόν. τὰ δὲ ἔχοντα ἐν αὐτοῖς σῶμα, ὥσπερ τὰ ῥοφήματα, ἢ ὁ ἄργυρος, διὰ βάρος τὸ σωματοειδὲς ἔχοντα πολὺ, καὶ ἀνταπωθοῦντα διὰ τὸ ἀποβιάζεσθαι βίᾳ, ἐξιόντος ἀποσφαιρίζεται ἢ ἂν κρατήσῃ τὸ θερμόν· οὐ γὰρ δίεισι διὰ πυκνότητα, ἀλλὰ κρατεῖ, ἕως ἂν ὑπὸ τοῦ ἐπιῤῥέοντος θερμοῦ ἀποῤῥιφθῇ. γίνεται δὲ πληγὴ, οὐκ ὦσις, διὰ τὸ ταχὺ φέρεσθαι τὸ θερμὸν κάτωθεν ἄνω.